*ἐξέβαλε τὴν λυποῦϲαν ἣν ἐβούλετο,*
*ἵν' ἀποβλέπωϲιν πάντεϲ εἰϲ τὸ Κρωβύληϲ*
*πρόϲωπον ἧι τ' εὔγνωϲτοϲ οὖϲ' ἐμὴ γυνὴ*
*δέϲποινα. καὶ τὴν ὄψιν ἣν ἐκτήϲατο·*
*ὄνοϲ ἐν πιθήκοιϲ, τοῦτο δὴ τὸ λεγόμενον,*
*ἐϲτίν. ϲιωπᾶν βούλομαι τὴν νύκτα τὴν*
*πολλῶν κακῶν ἀρχηγόν. οἴμοι Κρωβύλην*
*λαβεῖν ἔμ', εἰ καὶ δέκα τάλαντ' ⟨ἠνέγκατο⟩,*
*⟨τὴν⟩ ῥῖν' ἔχουϲαν πήχεωϲ. εἶτ' ἐϲτὶ τὸ*
*φρύαγμα πῶϲ ὑποϲτατόν; ⟨μὰ τὸν⟩ Δία*
*τὸν 'Ολύμπιον καὶ τὴν Ἀθηνᾶν, οὐδαμῶϲ.*
*παιδιϲκάριον θεραπευτικὸν δὴ καὶ λόγου*
*†τάχιον· ἀπαγέϲθω δέ. τί γὰρ ἄν τιϲ λέγοι;*

## 334 (403 K)

Avlvs Gellivs ii. 23. 12. idem enim ille maritus senex cum altero sene uicino colloquens et uxoris locupletis superbiam deprecans haec ait:

⟨*A.*⟩ *ἔχω δ' ἐπίκληρον Λάμιαν· οὐκ εἴρηκά ϲοι*
*τουτὶ γάρ.*
⟨*B.*⟩ *οὐχί.*
⟨*A.*⟩ *κυρίαν τῆϲ οἰκίαϲ*
*καὶ τῶν ἀγρῶν καὶ †πάντων ἀντ' ἐκείνηϲ†*
*ἔχομεν.*
⟨*B.*⟩ *Ἄπολλον, ὡϲ χαλεπόν.*
⟨*A.*⟩ *χαλεπώτατον.*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41693384X/320 UNIVERSITÄT LEIPZIG